λειμώνων ἐαροτρεφέων θαλέθεσκε πέτηλα.
αἱ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειραν
δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσῃσιν ἄνασσα
ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα
οἷά περ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
Οὐ μὲν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.
ἦ γὰρ δὴ Κρονίδης ὥς μιν φράσαθ' ὥς ἐόλητο
θυμὸν ἀνωίστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης
παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι
κρύψε θεὸν καὶ τρέψε δέμας καὶ γείνετο ταῦρος,
οὐχ οἷος σταθμοῖς ἐνιφέρβεται, οὐδὲ μὲν οἷος
ὦλκα διατμήγει σύρων εὐκαμπὲς ἄροτρον,
οὐδ' οἷος ποίμνῃς ἔπι βόσκεται, οὐδὲ μὲν οἷος
†ὅστις† ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
τοῦ δή τοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκε,
κύκλος δ' ἀργύφεος μέσσῳ μάρμαιρε μετώπῳ,
ὄσσε δ' ὑπογλαύσσεσκε καὶ ἵμερον ἀστράπτεσκεν.
ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου
ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
ἤλυθε δ' ἐς λειμῶνα καὶ οὐκ ἐφόβησε φαανθεὶς
παρθενικάς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἱκέσθαι
ψαῦσαί θ' ἱμερτοῖο βοὸς τοῦ τ' ἄμβροτος ὀδμὴ
τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀυτμήν.